eul_wid: rrg-cj

*Χρυσοποιὸς Α′* · Alchemist I

# Making of Silver

## *Ποίησις ἀργύρου*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.390 ΠΟΙΗΣΙΣ ΑΡΓΥΡΟΥ Λαβὼν μολύβδου μοῖραν α′, κασσιτέρου μοίρας ? ς, διὰ χώνης χοῦν ποίει· καὶ τρίψας ὄξει καὶ ἅλατι, λεύκαινε ταῦτα. Εἶτα βαλὼν εἰς κατζίον ἐν ἐλαίῳ λύε τρίς. Εἶτα ἐπὶ μοίρας ε′ τούτων βάλε ἀργύρου μοῖραν α′· καὶ ἑνώσας διάλυε πυρί. Ἔπειτα λύων κασσιτέρου μοίρας ε′, ἀπὸ τούτου βάλε τοῦ συνθέματος μοῖραν μίαν· καὶ ὄψῃ αὐτὴν τὴν φύσιν τοῦ ἀργύρου. ΕΤΕΡΩΣ. Λαβὼν ὑδράργυρον δυτικὸν καὶ ὑδράργυρον ἀνατολικὸν, ἐπίσης τρίψον καὶ βάλε εἰς ὕελον, καὶ ἕψει ἑπτάκις· τὸ δὲ ἀναβαίνει ὡσεὶ κρύσταλλος. Εἶτα τρίψον αὐτὸ μετὰ λευκοῦ τῶν ὠῶν, καὶ αὖθις ἕψει, καὶ ἀναβαίνει ὡσεὶ κρύσταλλος. Εἶτα τοῦτο λαβὼν, ποίει ἀπαιωρῶν .

2.390 ἐν τῷ σκεύει τοῦ ὄξους ὡς τὸ ἄνω ῥηθέν· καὶ στάζει κάτω τὸ ὕδωρ· ἐν ᾧ βαλὼν τὰ λευκὰ, ἔνθαψον αὐτὸ φιλοσόφως ὑέλῳ εἰς κόπρον ἡμέρας μ′, ἄχρις ἂν ὅλον γένηται ὕδωρ.

2.390 Τοῦτο Σολομῶντος Ἰουδαίου ἐκ τῶν ἱερῶν τοῦ ἡλίου.